ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
πλαθεῖσ' Ἀχιλλέως παιδί, δεσπότῃ δ' ἐμῷ.
καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην ὅμως
ἐλπίς μ' ἀεὶ προσῆγε σωθέντος τέκνου
ἀλκήν τιν' εὑρεῖν κἀπικούρησιν κακῶν·
ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ
τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι.
λέγει γὰρ ὥς νιν φαρμάκοις κεκρυμμένοις
τίθημ' ἄπαιδα καὶ πόσει μισουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ·
ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
νῦν δ' ἐκλέλοιπα· Ζεὺς τάδ' εἰδείη μέγας,
[ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει].
ἀλλ' οὔ σφε πείθω, βούλεται δέ με κτανεῖν,
πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
καὶ νῦν κατ' οἴκους ἔστ', ἀπὸ Σπάρτης μολὼν
ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ
δόμων πάροικον Θέτιδος εἰς ἀνάκτορον
θάσσω τόδ' ἐλθοῦσ', ἤν με κωλύσῃ θανεῖν.
Πηλεύς τε γάρ νιν ἔκγονοί τε Πηλέως
σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
ὃς δ' ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ
ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
ὁ γὰρ φυτεύσας αὐτὸν οὔτ' ἐμοὶ πάρα
προσωφελῆσαι, παιδί τ' οὐδέν ἐστ', ἀπὼν

23 om. A | θέλω mut. in θέλων *B* 24 ἄρσεν' ἐκτίκτω *B* (corr. *b*), ἄρσενα τίκτω *L* 25 πλαθεῖσ' *EL*, πλαθεὶσ *A*, πλασθεῖσ' *BP* | ἀχιλέως *B* corr. *b* | δ'] Elmsley, τ' libri, γ' Brunck 27 προῆγε olim Reiske 28 κἀπικουρήσ∗ν *A* (κἀπικουρήσειν *a*), κἀπικούρησιν $A^2$, κἀπικούφισιν Elmsley 29—31 om. *B* tribus lineis in fine paginae vacuis relictis, supplevit *b* 33 μισουμένην] fort. στυγουμένην, cfr. 157. 205 35 τῶνδ' *B* όν superscr. *b* 36 τὸ πρόσθεν *BE*, γρ. τὸ πρῶτον superscr. *b* 37 τάδ'] τάγ' *BE* (γ in δ mut. *b*), fort. τόδ' 38 delevit Nauck 40 μενέλαος *BE* 43 δόμον *BEP*, ων superscr. *b* | παρ' οἶκον *A*, πάροικον mut. in παροίκων *E* 44 ἄν με *P* 46 νηρῆδος *BLP*, νηρηΐδος *AEb* 47 λάθρα libri